Ακαδημία Αθηνών / Academy of Athens

πόθεν ἰσοπαλὲς πάντη Ἐμπεδοκλῆς 100.1-2 *ὧδε δ' ἀναπνεῖ πάντα καὶ ἐκπνεῖ· πᾶσι λίφαιμοι σαρκῶν σύριγγες π ύ μ α τ ο ν κατὰ σῶμα τέτανται.*

**πυνθάνεσθαι 1.** Μαθαίνω/πληροφοροῦμαι, learn/be informed, Παρμενίδης 1.28 *χρεὼ δέ σε πάντα π υ θ έ σ θ α ι* 10.4 *ἔργα τε κύκλωπος π ε ύ σ η περίφοιτα σελήνης καὶ φύσιν* Ἐμπεδοκλῆς 2.9 *σὺ δ' οὖν, ἐπεὶ ὧδ' ἐλιάσθης, π ε ύ σ ε α ι οὐ πλέον ἠὲ βροτείη μῆτις ὄρωρεν* 111.2 *φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ π ε ύ σ η, ἐπεὶ μούνῳ σοὶ ἐγὼ κρανέω τάδε πάντα* **2.** Ἐρωτῶ/ζητῶ, ask/inquire, Ἐμπεδοκλῆς 112.11 *οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ' ἐπὶ νούσων παντοίων ἐ π ύ θ ο ν τ ο κλυεῖν εὐηκέα βάξιν.* Πρβλ. *μανθάνειν, γι(γ)νώσκειν, εἰδέναι.*

**πύον.** Πύον, pus, Ἐμπεδοκλῆς 68 *μηνὸς ἐν ὀγδοάτου δεκάτῃ π ύ ο ν ἔπλετο λευκόν.*

**πῦρ 1.** Πῦρ/φωτιά, fire, Ξενοφάνης 22.1 *πὰρ π υ ρ ὶ χρὴ τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ* Ἡράκλειτος 67 *ἀλλοιοῦται δὲ (sc. ὁ θεός) ὅκωσπερ ⟨π ῦ ρ⟩, ὁπόταν συμμιγῇ θυώμασιν, ὀνομάζεται καθ' ἡδονὴν ἑκάστου* Ἐμπεδοκλῆς 52 *πολλὰ δ' ἔνερθ(ε) οὔδεος π υ ρ ὰ καίεται* 84.2-7-11 *ὡς δ' ὅτε τις πρόοδον νοέων ὡπλίσσατο λύχνον χειμερίην διὰ νύκτα, π υ ρ ὸ ς σέλας αἰθομένοιο, ἅψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς ... ὣς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον π ῦ ρ ... αἳ δ' ὕδατος μὲν βένθος ἀπέστεγον ἀμφιναέντος, π ῦ ρ δ' ἔξω διίεσκον, ὅσον ταναώτερον ἦεν* Πυθαγόρειοι C 6 (DK I 465,22) *μαχαίρᾳ π ῦ ρ μὴ σκαλεύειν* **2.** Τὸ Πῦρ (ὡς κοσμικὴ ἀρχή), Fire (as a cosmic principle), Ἡράκλειτος A 14α (DK I 147,13) *π ῦ ρ ... ἀείζωον* 30 *κόσμον τόνδε, τὸν αὐτὸν ἁπάντων, οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν, ἀλλ' ἦν ἀεὶ καὶ ἔστιν καὶ ἔσται π ῦ ρ ἀείζωον, ἁπτόμενον μέτρα καὶ ἀποσβεννύμενον μέτρα* 31 *π υ ρ ὸ ς τροπαὶ πρῶτον θάλασσα, θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ, τὸ δὲ ἥμισυ πρηστήρ* 66 *πάντα ... τὸ π ῦ ρ ἐπελθὸν κρινεῖ καὶ καταλήψεται* 90 *π υ ρ ό ς τε ἀνταμοιβὴ τὰ πάντα καὶ π ῦ ρ ἁπάντων ὅκωσπερ χρυσοῦ χρήματα καὶ χρημάτων χρυσός* **3.** Τὸ πῦρ (ὡς στοιχεῖο), fire (as an element), Μέλισσος 8(2) *εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ π ῦ ρ* Ἐμπεδοκλῆς 17.18 *π ῦ ρ καὶ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὕδωρ καὶ γαῖα καὶ ἠέρος ἄπλετον ὕψος 62.2-6 ἀνδρῶν τε πολυκλαύτων τε γυναικῶν ἐννυχίους ὅρπηκας ἀνήγαγε κρινόμενον π ῦ ρ ... τοὺς μὲν π ῦ ρ ἀνέπεμπε θέλον πρὸς ὁμοῖον ἱκέσθαι 73.2 ὡς δὲ τότε χθόνα Κύπρις, ἐπεί τ' ἐδίηνεν ἐν ὄμβρῳ, εἴδεα ποιπνύουσα θοῷ π υ ρ ὶ δῶκε κρατῦναι 109.2 γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ π υ ρ ὶ π ῦ ρ ἀίδηλον, στοργὴν δὲ στοργῇ, νεῖκος δέ τε νείκεϊ λυγρῷ Φιλόλαος 12 καὶ τὰ μὲν τᾶς σφαίρας σώματα πέντε ἐντί, τὰ ἐν τᾷ σφαίρᾳ π ῦ ρ ⟨καὶ⟩ ὕδωρ καὶ γᾶ καὶ ἀήρ, καὶ ὁ τᾶς σφαίρας ὁλκάς (?), πέμπτον Διογένης 2.4 εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ ἐόντα νῦν, γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ π ῦ ρ καὶ τὰ ἄλλα ὅσα φαίνεται ἐν τῷδε τῷ κόσμῳ ἐόντα. || Παρμενίδης 8.56 σήματ' ἔθεντο χωρὶς ἀπ' ἀλλήλων, τῇ μὲν φλογὸς αἰθέριον π ῦ ρ 12.1 αἱ γὰρ στεινότεραι πλῆντο π υ ρ ὸ ς ἀκρήτοιο. || Δημόκριτος 11e (τίτλ.) Αἰτίαι περὶ π υ ρ ὸ ς καὶ τῶν ἐν π υ ρ ί.

**πυρός.** Κόκκος σίτου, grain of wheat, Δημόκριτος 164.8 φακοὶ μετὰ φακῶν τάσσονται ... καὶ π υ ρ ο ὶ μετὰ π υ ρ ῶ ν.

**πυρρός.** Πυρρός, red, Ξενοφάνης 16.2 Αἰθίοπές τε ⟨θεοὺς σφετέρους⟩ σιμοὺς μέλανάς τε Θρῆκές τε γλαυκοὺς καὶ π υ ρ ρ ο ύ ς ⟨φασι πέλεσθαι⟩.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ